ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΑΛΗΘΕΙΑ

ΕΒΔΟΜΑΔΙΑΙΟΝ ΔΕΛΤΙΟΝ

ΕΚΔΙΔΟΜΕΝΟΝ ΚΑΤΑ ΠΑΡΑΣΚΕΥΗΝ

ΕΤΟΣ Κ'. ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ, 11 ΑΥΓΟΥΣΤΟΥ 1900 ΑΡΙΘ. 32

ΔΙΕΥΘΥΝΟΥΣΑ ΕΠΙΤΡΟΠΗ

† Ὁ Γρεβενῶν **ΔΩΡΟΘΕΟΣ** (πρόεδρος)
† Ὁ Μέγας Πρωτοσύγκελλος ΧΡΥΣΟΣΤΟΜΟΣ
† Ὁ Ἀρχιγρ. τῆς Ἱ. Συνόδου ΦΩΤΙΟΣ (ταμίας)
† Ὁ Μέγας Ἀρχιδιάκονος ΛΑΥΡΕΝΤΙΟΣ
ΧΡ. ΠΑΠΑ-Ι-ΩΑΝΝΟΥ (γραμματεύς)

ΣΥΝΔΡΟΜΗ ΕΤΗΣΙΑ

καθ' ὅλον τὸ ὀθωμαν. κράτος μετζίτια ἀργ. 8
διὰ τὸν κατώτερον κλῆρον καὶ τοὺς δημοδιδασκ. 3
ἐν τῷ ἐξωτερικῷ φράγκα χρυσᾶ 25

ἑξαμηνιαῖα τὰ ἡμίσια

Ἡ Συνδρομὴ προκαταβάλλεται

Αἱ συνδρομαὶ ἄρχονται τὴν 1 Ἰανουαρίου

ΠΕΡΙΕΧΟΜΕΝΑ

Ἐκκλησιαστικὰ χρονικά — Ἱστορικὸν ζήτημα ἐκκλησιαστικὸν ἐπὶ τῆς βασιλείας Ἀλεξίου Κομνηνοῦ ὑπὸ Ἀλεξάνδρου Ε. Λαυριώτου — Ἀνάλεκτα ἐκ τῶν πατριαρχικῶν Κωδίκων — Κοινοποιήσεις

ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΧΡΟΝΙΚΑ

Ἀδιαθεσία Πατριάρχου. — Ἰδιαίτερον ἰατρικὸν συμβούλιον ἐκ τῶν ἐγκρίτων ὁμογενῶν ἰατρῶν Καμπούρογλου, Εὐθυβούλη, Βασιλειάδου καὶ Σπανούδη, ἀπεφήνατο ὑπὲρ τῆς ἀνάγκης ἵνα ἡ Α. Θ. Παναγιότης ἀπόσχῃ ἐπί τινα χρόνον πάσης ἐργασίας χάριν τῆς πλήρους ἀποκαταστάσεως τῆς ὑγείας αὐτῆς. Ἡ Α.Θ.Π. συμμορφουμένη πρὸς τὴν ἀπόφασιν ταύτην μετέβη τῷ παρελθόντι Σαββάτῳ εἰς Χάλκην, ἔνθα διατρίψει ἐπί τινα καιρὸν ἐν τῇ Θεολογικῇ Σχολῇ.

Κατὰ τὴν ἀπουσίαν ταύτην τῆς Α. Θ. Π. τῶν τακτικῶν συνοδικῶν συνεδριῶν θέλει προεδρεύει ὁ πρῶτος τῇ τάξει τῶν ἁγίων συνοδικῶν σεβασμιώτατος μητροπολίτης Δέρκων Καλλίνικος.

—Πανήγυρις ναοῦ. — Πανηγυρίζοντος τῇ παρελθούσῃ Κυριακῇ τοῦ ἐν Γαλατᾷ ἱεροῦ ναοῦ τῆς θείας Μεταμορφώσεως τοῦ Σωτῆρος, ὁ ἐκ τῶν ἁγίων συνοδικῶν σεβασμιώτατος μητροπολίτης Βερροίας Κωνστάντιος ἐχοροστάτησεν ἐν αὐτῷ κατὰ τὸν ἑσπερινὸν καὶ τῇ ἐπαύριον ἐτέλεσε, συνιερουργούντων τοῦ ἐκ τῶν ἁγίων συνοδικῶν σεβασμιωτάτου ἁγίου Ἐλευθερουπόλεως Διονυσίου καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Συννάδων Εὐγενίου, τὴν θείαν καὶ ἱερὰν λειτουργίαν, καθ' ἣν προεχείρισεν εἰς ἱερέα τὸν ἱεροδιάκονον Ἀμβρόσιον Πλειανθίδην, ἀπόφοιτον τῆς ἐν Κιέβῳ πνευματικῆς Ἀκαδημείας, ὑπότροφον δὲ τῆς Α. Θ. Π. τοῦ Οἰκουμενικοῦ Πατριάρχου, διορισθέντα προϊστάμενον τῆς ἐν Σεβαστουπόλει ἑλληνικῆς κοινότητος.

—Πατριαρχικαὶ προσρήσεις. — Τῆς Α. Καισαροβασιλικῆς Μεγαλειότητος τοῦ αὐτοκράτορος τῆς Αὐστροουγγαρίας Φραγκίσκου Ἰωσὴφ ἄγοντος τῷ παρελθόντι Σαββάτῳ τὴν ἐπέτειον τῶν γενεθλίων αὐτοῦ ἑορτήν, ἡ Α. Θ. Π. ὁ Οἰκουμενικὸς Πατριάρχης διεβίβασε τὰς ἐπὶ τούτῳ πατριαρχικὰς αὐτοῦ προσρήσεις τῇ Α. Ε. τῷ ἐνταῦθα πρεσβευτῇ τῆς Αὐστρίας βαρόνῳ Κάλιτς διὰ τοῦ πανοσιολογιωτάτου Μ. Πρωτοσυγκέλλου Χρυσοστόμου καὶ τοῦ διευθυντοῦ τοῦ Α. Πατριαρχικοῦ Γραφείου κ. Ἰωάννου Δ. Ταντελίδου.

— Ἐπισκέψεις. — Τὴν παρελθοῦσαν Τρίτην ὁ Μ. Πρωτοσύγκελλος μεταβὰς εἰς τὸ ἐν Ὀρτάκιοϊ μέγαρον τῆς Α. Ἐξ. τοῦ Ὑπουργοῦ τῶν Θρησκευμάτων διεβίβασε τῇ Α. Ἐξοχότητι τὰς ἐπὶ τῇ ἀναρρώσει Αὐτῆς εὐχὰς τῆς Α. Θ. Παναγιότητος.

Τὴν παρελθοῦσαν Δευτέραν ἡ Α. Μ. ὁ Πατριάρχης τῶν Ἀρμενίων κ. Μαλαχίας Ὀρμανιὰν ἐν συνοδίᾳ δύο ἐκ τῶν ἐπιλεκτοτέρων μελῶν τῆς Ἀρμενικῆς Κοινότητος τοῦ ἐξοχωτάτου Στεφὰν πασᾶ Ἀσλανιὰν καὶ τοῦ Ρετέος ἐφένδη, Διευθυντοῦ τοῦ ὁμωνύμου ἐν Σκουτάρει Ἀρμενικοῦ Γυμνασίου, μεταβάντες εἰς Χάλκην ἐπεσκέψαντο τὴν Α. Θ. Π. τὸν Οἰκουμενικὸν Πατριάρχην καὶ διηρώτησαν τὰ περὶ τῆς ὑγείας του. Ἡ Α. Μακαριότης μετὰ τῶν συνοδῶν Αὐτῆς ἐπεσκέψατο εἶτα καὶ ὅλον τὸ κτίριον τῆς Θεολ. Σχολῆς ἀποκομισάμενος ἄριστας ἐντυπώσεις.

Χθὲς δὲ Πέμπτην ὁ Μ. Πρωτοσύγκελλος Χρυσόστομος κατ' ἐντολὴν πατριαρχικὴν μεταβὰς παρὰ τῇ Α. Μ. τῷ Πατριάρχῃ Ὀρμανιὰν διηρμήνευσε τὰς εὐχαριστίας τῆς Α. Θ. Παναγιότητος ἐπὶ τῷ φιλαδέλφῳ ἐνδιαφέροντι καὶ τῇ ἐπισκέψει.

—Κοινοτικὰ Θεσσαλονίκης. — Ὁ σεβασμιώτατος μητροπολίτης Θεσσαλονίκης Ἀθανάσιος διὰ γράμματος αὐτοῦ ἀνεκοινώσατο τῇ Ἐκκλησίᾳ ὅτι συμφώνως τῇ διαβιβασθείσῃ αὐτῷ συνοδικῇ ἐγκρίσει κατήρτι-

σε τὰ ἐξ ὀφικίου σωματεῖα τῆς Κοινότητος, ἅπερ καὶ ἀνέλαβον τὰ ἀνατεθέντα αὐτοῖς καθήκοντα.

—*Ἐπέτειος ὀνόματος.* — Χθὲς ἦγε τὴν ἐπέτειον τοῦ ὀνόματος αὐτοῦ ἑορτὴν ὁ πανοσιολ. Μέγας Ἀρχιδιάκονος Λαυρέντιος. Ἡ Α. Πανοσιολογιότης ἐδέξατο τὰς συγχαρητηρίους ἐπὶ τούτῳ εὐχὰς τῶν ἁγίων συνοδικῶν ἀρχιερέων, πολλῶν ἐγκρίτων ἄλλων κληρικῶν καὶ λαϊκῶν φίλων ὡς καὶ πάντων τῶν πατριαρχικῶν ὑπαλλήλων.

—*Μητροπολίτης Μελενίκου.* — Ὁ πανιερώτατος μητροπολίτης Μελενίκου Λεόντιος τηλεγραφικῶς ἤγγειλε τῇ Ἐκκλησίᾳ τῷ παρελθόντι Σαββάτῳ ὅτι ἀμέσως κατευθυνθήσεται εἰς βασιλεύουσαν.

—*Μητροπολίτης Σωζοαγαθουπόλεως.* — Τῷ παρελθόντι Σαββάτῳ ἀπῆλθεν εἰς τὴν ἐπαρχίαν αὐτοῦ προπεμφθεὶς ὑπὸ πολλῶν κληρικῶν καὶ λαϊκῶν φίλων αὐτοῦ ὁ πανιερώτατος μητροπολίτης Σωζοαγαθουπόλεως Κωνσταντῖνος.

—*Πρώην Νευροκοπίου.*—Ὁ πανιερώτατος μητροπολίτης πρώην Νευροκοπίου Νεόφυτος ἤγγειλε τῷ παρελθόντι Σαββάτῳ τῇ Ἐκκλησίᾳ ὅτι ἀπῆλθεν ἐκ τῆς τέως ἐπαρχίας αὐτοῦ καὶ ἀφίκετο εἰς ἅγιον Ὄρος ἐγκαταστὰς ἐν τῇ ἱερᾷ Μονῇ τῶν Ἰβήρων.

—*Καθαίρεσις διακόνου.*—Τῆς πολιτείας τοῦ τέως διακόνου Στεφάνου ἐκ τοῦ χωρίου Ἀκδὰγ-Μαδὲν τῆς ἐπαρχίας Χαλδείας ὁρμωμένου, ἐν Ἀδάνοις δὲ χειροτονηθέντος, θεωρηθείσης ἀντικανονικῆς καὶ ὅλως ἀπαδούσης πρὸς τὸ ὃ ἔφερε σχῆμα, ἡ ἁγία καὶ ἱερὰ Σύνοδος ἐν τῇ συνεδρίᾳ τῆς παρελθούσης Τρίτης προέβη εἰς τὴν καθαίρεσιν αὐτοῦ.

ΙΣΤΟΡΙΚΟΝ

ΖΗΤΗΜΑ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ

ΕΠΙ ΤΗΣ

ΒΑΣΙΛΕΙΑΣ ΑΛΕΞΙΟΥ ΚΟΜΝΗΝΟΥ

ὑπὸ

Ἀλεξάνδρου Ε. Λαυριώτου*

Ἀλλὰ νῦν φημι τῶν βασιλικῶν θησαυρῶν ἐκκενουμένων καὶ τῶν ἔξωθεν εἰσφερομένων κομιδῇ ἠλαττωμένων ἀναγκαίως ταῖς προσόδοις οἱ πόροι πανταχόθεν ἐπινενόηνται· τὸ δὲ δικαίως ἢ ἀδίκως, οὐ δίδωσι σκοπεῖν ὁ καιρός. βασιλείαν γὰρ συνεστάναι ὅλως μὴ στρατιωτικὸν τρέφουσαν, καὶ ταῦτα ἐν τῷ παρόντι ἀμήχανον· σκῆψις ταῦτα καὶ εἰρωνεία, ὅταν γὰρ προβάλλησθε τὰ τοιαῦτα μάλιστα μὲν ἀντιφθέγγοντας ὑμῖν ἄλλα τε πολλὰ καὶ μέντοι καὶ κτημάτων περιβολαὶ καὶ αἱ ἐντὸς πόλεως πύλεις καὶ κτισμάτων ὑπερβολαί, καὶ τὰ πολλὰ βασίλεια, καὶ οἱ ἐφ' ἑκάστου κατὰ τὸ εἰκὸς θησαυροὶ καὶ ἡ μερισθεῖσα βασιλεία, καὶ διὰ τοῦτο μηδὲ ἱσταμένη ἐπ' ἀληθείας γάρ, ὦ βασιλεῦ, πρὸς λύμην μεγίστην καὶ τῇ βασιλείᾳ καὶ ἡμῖν πᾶσι τὸ συγγενές σοι κατέστη, ἕκαστος γὰρ βασιλικῶς ζῆν τε καὶ εὐπορεῖν ἐθέλοντες τὸ οἰκεῖον κέρδος τοῦ κοινῇ συμφέροντος περὶ πλείονος ἄγοντες, Σοὶ μὲν χρημάτων σπάνιν καὶ τοῦ πλεονεκτεῖν ἀναγκάζεσθαι καὶ προσκρούειν Θεῷ, τῷ κοινῷ δὲ παντοδαπὰς προὐξένησαν ζημίας καὶ θλίψεις· τοῖς δὲ ἐχθροῖς τὰ ῥάστα περιγίνεσθαι συντετριμμένων ἡμῶν καὶ πάντῃ ἀπόνως ἐχόντων, ἀλλὰ ταῦτα μὲν διὰ τὴν πρόφασιν ἣν τοῦ πάντοθεν ἀπραιτήτως χρηματίζεσθαι ὑμεῖς αἰτιᾶσθε. Εἰ δὲ καὶ τῷ ὄντι χρημάτων ἦν ἀπορία καὶ στρατιωτικὸν πρὸς ἀσφάλειαν ἀξιόχρεων ἡ βασιλεία τρέφειν οὐκ εἶχε. Πίστεως μόνον ἔδει σὺν δικαιοσύνῃ, καὶ τὰ πάντα ἂν γέγονε δυνατὰ καὶ ἀπόριστα, ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος πάντως· ἀλλὰ πάλιν ἐρῶ· οὐκ ἀπογνωστέον οὐδ' οὕτω τὴν θείαν εὐμένειαν· μόνον τὰ ἄλλα ἀφείς, ἀφ' ὧν οὐδαμῇ οὐδαμῶς ὠφέλησαι, ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα πᾶσαν, τῷ βασιλεῖ πρέπουσαν, καὶ ὅσην ὁ καιρὸς νῦν ἀπαιτεῖ· ἀλλὰ μὴ ἐλπίζετε ἐπ' ἀδικίαν καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. Πᾶσαν ἄδικον φορολογίαν καὶ πρᾶξιν ἄθεσμον, καὶ βουλὴν ἄβουλον, μακρὰ χαίρειν ἑατέον· τὰ μὲν αὐτίκα διορθωτέον κατὰ τὴν φθάσασαν ὑποθήκην, ὑπὲρ δὲ τῶν καθυποσχέσθαι Χριστῷ τῷ Θεῷ, ποίησον ἐπαγγελίαν ὅτι καὶ αὐτὸς τοῦ λοιποῦ τὰ νενομισμένα βασιλεῖ πράττων διατελέσεις· καὶ πολλὴν περὶ τὰς ἀρχαιρεσίας φυλάξεις τὴν ἀκρίβειαν, τῶν δικῶν τὰς διαιτήσεις καὶ τῶν πόλεων τὰς ἡγεμονίας καὶ τὰς ἄλλας διοικήσεις τῶν τε ἐντὸς πραγμάτων καὶ τῶν ἐκτός· ἀνδράσιν ἐπιτρέπων τοῖς χρηστοτάτοις, ἀλλ' οὐ τοῖς φαυλοτάτοις· τοῖς δικαιοτάτοις, οὐ τοῖς παρανομωτάτοις. Εἰπὲ καὶ αὐτός· Κύριε, πάντα ὅσα μοι ἠδίκηται, ὅσα ἁφῄρηται παρὰ πλουσίων ἢ πενήτων ἐξ ἀφορμῶν παραλόγων χρήματα ἢ κτήματα ἱερά τε καὶ ἰδιωτικὰ ἀποκαταστήσω τοῖς ἀφαιρεθεῖσι· εἰ καὶ μὴ εἰς τὸ τετραπλοῦν, ἀλλά γε εἰς τὸ ἀντισηκοῦν αὐτοῖς τὰς ζημίας· καὶ τὰς θλίψεις, παρηγορῶν κατὰ τὸ ἐν ἐμοὶ δυνατόν, καὶ τὸ ἀπὸ σοῦ πόριμον. Ἐπάγγειλε ταῦτα δὴ ἃ καὶ ἀνάγκης δίχα βασιλεῖ φυλάττειν ἐπάναγκες, καὶ κρίμα δίκαιον κρίνειν, ἔλεον καὶ οἰκτιρμὸν ποιεῖν· χήραν καὶ ὀρφανὸν καὶ πένητα μὴ καταδυναστεύειν. Ποιεῖν πάντα μετὰ βουλῆς, τοῖς λογάσι τῶν στρατιωτῶν τε καὶ τῶν ὑπὸ τῶν ἐκκλησιαστικῶν τε καὶ τῶν ἄλλων ἀνθρώπων, εἰς μέσον προτιθεὶς τὰ σκέμματα, καὶ μάλισθ' ὅταν περὶ τῶν ἀναγκαιοτάτων τινὸς βουλεύεσθαι δεῖ· μηδὲ θαρρεῖν ἑαυτῷ, ἑνί γε ὄντι· καὶ μυρίων ἐν μέσῳ στρεφομένῳ πραγμάτων· ἀμήχανον γὰρ ἐν πᾶσι τὸ δέον εὑρίσκειν· γέγραπται δὲ ὅτι σωτηρία ἐν πολλῇ βουλῇ· πρόσθες καὶ ταῦτα

* Συνέχεια ἀπὸ σελίδος 352 — 358.

НБ ОНУ імені І.І. Мечникова

τοῖς ἐπαγγέλμασιν οὐ μικρὸν γάρ· ὡς ἄρα ἐμμελέστατά τε καὶ ἀκριβέστατα καὶ τῶν ἐκκλησιαστικῶν φροντίσεις πραγμάτων. Εἰ γὰρ δεῖ τ' ἀληθὲς εἰπεῖν, οὐκ ἔλαττον τῶν κοσμικῶν ταῦτα νοσεῖ· καὶ οὐχ ὑμεῖς μόνοι, ὦ βασιλεῦ, οἱ τὸ κράτος ἰθύνοντες, ἀλλὰ καὶ ἡμεῖς ἁπαξάπαντες πολλαῖς συνεζήσαμέν τε καὶ συζῶμεν παρανομίαις, καίτοι καὶ τούτων αἱ αἰτίαι Σοὶ λογίζονται παρά τε Θεῷ καὶ τοῖς ὀρθῶς κρίνουσι τῶν ἀνθρώπων· καὶ μὴ ἐξ ἐπιτάγματος πολλοὶ ἁμαρτάνομεν, ὁ γὰρ ἐφησυχάζων τοῖς κακῶς πραττομένοις κωλύειν ἐξὸν οὐκ ἔλαττον τῶν ποιούντων ἐστὶν ὑπεύθυνος· καὶ μάλισθ' ὅτι καὶ μὴ ἐπεξιών, εὐχερῆ καὶ ῥᾴδιαν τοῖς βουλομένοις παρέχει τὴν μίμησιν· ὅτι δὲ οἱ πάντες ὁμοῦ παρανομοῦμεν, οὐδὲ λόγου δεῖ πρὸς ἀπόδειξιν· αὐτὰ γὰρ τὰ πράγματα μάρτυρές εἰσιν ἀπαράγραπτοι· ἃ γὰρ οἱ τοῦ Ἰσραὴλ προεστῶτες πάλαι διὰ προφητικῶν φωνῶν ὠνειδίζοντο, ταῦτα καὶ παρ' ἡμῖν ἔστιν ὁρᾶν ἢ καὶ πολλῷ χείρονα πλημμελούμενα. Οἱ ἄρχοντες ἡμῶν, ὡς λέοντες ὠρυόμενοι οἱ κριταὶ ἡμῶν ὡς λύκοι τῆς Ἀραβίας· ἡμεῖς οἱ μονάζειν ἐπαγγελλόμενοι καὶ τὴν σάρκα σταυροῦντες σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τούτοις μᾶλλον ζῶμεν ἢ τῷ Θεῷ. Οἱ ἱερεῖς βεβηλοῦμεν τὰ ἅγια καὶ ἀθετοῦμεν νόμον, καὶ θείους κανόνας καταπατοῦμεν ἀνέδην· καὶ ὁ κωλύτων ἢ μεμψόμενος οὐκ ἔστιν· ἀλλὰ συνευδοκοῦμεν ταῖς ἀλλήλων κακίαις, καὶ κακὸς ἐκεῖνος παρ' ἡμῖν, ὃς ἂν ἐπὶ τούτοις οὐ συμφρονοίη. Τούτων πάντων, ὦ βασιλεῦ, τὰ γὰρ αὐτὰ παρεγγυᾶσθαι πολλάκις ἐμοὶ μὲν ὀφείλημα, Ὑμῖν δὲ ὠφέλιμα. Τὰ μὲν αὐτίκα μεθαρμόσασθαι σπεῦσον ἐπὶ τὸ κάλλιον, ὅσα σοι δυνατόν· δυνατὸν δὲ τὰ πλείω. Τῶν δὲ καθυπόσχου τὴν διόρθωσιν εἰ καιρὸς ἐνδοθῇ, πείθων καὶ στρατιώτας ἀρκεῖσθαι τοῖς ἰδίοις ὀψωνίοις, ἀλλὰ μὴ τούτους ἀδικεῖν, οὓς κατὰ τῶν ἀδικούντων βοηθοὺς ἄγεις· οὐ γὰρ ἔστιν οὐκ ἔστι στρατιώτας εὐδοκιμεῖν ἁρπαγῇ καὶ πλεονεξίᾳ μεμολυσμένους εἰς μάχην τε τὰς χεῖρας αἴροντας καὶ Θεῷ πολεμίῳ πρὸ τῶν ὑπεναντίων χρωμένους. Τοιαῦτα φέρων ὁλοκαυτώματα, τοιαύτας τὰς ὑπὲρ ἁμαρτιῶν θυσίας τῶν τε ἰδίων καὶ τοῦ λαοῦ παντός, εἴσελθε εἰς τὸ ἅγιον ἔναντι τοῦ Κυρίου· μὴ ἐν νυκτί, ἐν ἡμέρᾳ δὲ μᾶλλον. Εἰσέλθωμεν δὲ καὶ πάντες καὶ ἐξιλασώμεθα· πολλῆς δὲ χρεία τῆς προσευχῆς καὶ τῆς ταπεινοφροσύνης, καὶ ταύτης διπλῆς· τῆς μὲν τὸν ἐντὸς συντριβούσης ἄνθρωπον· τῆς δὲ ἔξωθεν ἐπιφαινομένης ὁποία ἦν ἡ τοῦ βασιλέως ἐκείνου, ὃς ἐν ἡμέραις . . . . . βαφῇ περιθέμενος πέδιλα καὶ εἰς τὸ μέγα τοῦ Θεοῦ δραμὼν τέμενος, δακρύσας τε καὶ εὐξάμενος τὴν θείαν εὐμένειαν ἐπεσπάσατο· καὶ ὅσα ἐξ ἐκείνου κατὰ Περσῶν ἀριστεύματα, ἀκούεις δήπου καὶ αὐτός, οὐδὲ τοῦ μακροῦ χρόνου λήθῃ παραδοῦναι ταῦτα ἰσχύσαντος. Ταῦτα ποιητέον, ὦ βασιλεῦ, καὶ ἐγὼ πάλιν καθίσταμαι ἐγγυητής· ἐγὼ καὶ νῦν προαγορεύω εἰ καὶ μή ἔκ τινος θεσπίζων θεοφορήτου κατακωχῆς· ἀλλ' ἐκ βρέφους τοῖς ἱεροῖς γράμμασιν ὁμιλῶν καὶ τῇ τούτων διανοίᾳ τὴν ἐκ τῶν πραγμάτων πεῖραν ἀκολουθοῦσαν ἔχων. Νῦν δὲ καὶ ἀρχιερεὺς ὢν τοῦ Θεοῦ, καὶ τὰ τοιαῦτα ἐγγυᾶσθαι τὸ ἀξιόπιστον ἔχων· Φημὶ τοίνυν ὡς τούτων οὕτω γενομένων παρά τε Σοῦ καὶ τῶν ἄλλων ἡμῶν, ἔσται τις μεταβολὴ κρειττων πάντως τοῖς πράγμασι· καὶ ἐλεύσονται πάλιν καιροὶ ἀναψύξεως ἀπὸ προσώπου Κυρίου· ἡμῶν δ' ἐν οἷοις ἐσμὲν μενόντων, καὶ ἀμεταβλήτως ἐχόντων· γνωστὸν ἔστω σοι, βασιλεῦ, ὡς ἐγὼ οὔτε στρατεύειν ἔτι σε συμβουλεύω, οὔτε ἄλλο τι ὑπέρ τε σεαυτοῦ καὶ ἡμῶν ἢ ποιεῖν ἢ βούλεσθαι· ματαιότης γὰρ ματαιοτήτων πάντα σοι ἔσται τῶν προπεπονημένων δηλαδὴ ὡς καὶ τὰ ἑξῆς γε πονηθησόμενα· ἀλλὰ καθῆσθαι χρὴ πάντας ἐκδεχομένους τοῦ Θεοῦ τὴν μάχαιραν, ὅσον οὐκ ἤδη καὶ ἐφ' ἡμᾶς ἥξουσαν· ἢ ταύτας δὴ θαρρήσομεν ταῖς πρεσβείαις ταῖς νῦν ὑπὸ τῶν πολλῶν γινομέναις, οὓς ἀθροίζοντες οἱ πάντα ὑμῖν χαρίζεσθαι θέλοντες ἐκ τῶν ἐργαστηρίων καὶ τῶν ἐργοχείρων τοὺς πλείστους ἐπανιστάντες· ἀνθρώπους δυστήνους καὶ ταλαιπώρους, λαμπάδας ὠνεῖσθαι καταναγκάζοντες· μηδὲ τῆς πρὸς ἡμέραν τροφῆς τυχὸν εὐποροῦντας, περιΐέναι τὰς ἀγορὰς καὶ λιτανεύειν πείθουσι· καὶ μέντοι καὶ περιάσιν, οὐχ ὑπερευχόμενοι, ἀλλὰ κατευχόμενοι ἔνιοι· καὶ δακρυρροοῦντες μὲν καὶ στενάζοντες, ἀλλὰ διὰ τὴν πικρὰν πενίαν καὶ τοὺς οἰκτροτέρους τελώνας, οἳ μετὰ τὴν λιτὴν ἴσως εὐθὺς ἐπιστήσονται τὸν ἐπιτεθέντα δασμὸν ἀπραιτήτως εἰσπραξάμενοι· ἄπαγε τῶν τοιούτων πρεσβειῶν, ὦ βασιλεῦ, οὐ σβεννύειν· ἀλλὰ καὶ τοὐναντίον ἐπὶ μᾶλλον ἀνάπτειν τὴν καθ' ἡμῶν ὀργὴν δύνανται. Οἶδα μὲν πολλὰ καὶ πολλοῖς λυπηρὰ λέξας· τὸ δὲ αἴτιον, ἡ ἀνάγκη. Ἐπεί τοι ἐμοὶ τὸ παράπαν βουλομένῳ οὐκ ἦν τοιαῦτα λέγειν· ὁ Θεὸς οἶδεν· ὥσπερ οὐδὲ λόγων τοιούτων ἀφορμὰς ἔχειν· καὶ γὰρ καὶ αὐτὸς διὰ τὴν αὐτὴν πάντως ἀνάγκην, ἡμᾶς συγκέκληκας σήμερον, τὴν ἑκάστου περὶ τῶν παρόντων μαθησόμενος γνώμην. Χριστὸς δέ, καὶ γὰρ καλὸν λοιπὸν εὐχὴ χρήσασθαι, ὁ πατὴρ τῶν Οἰκτιρμῶν καὶ τῆς Εἰρήνης ἄρχων· ὁ καὶ τὸ θέλειν τὰ ἀγαθά· καὶ τὸ ἐνεργεῖν ἐνεργῶν ἐν πᾶσιν, αὐτὸς συνετίσας καὶ συμβιβάσας ὑμᾶς εἰς τὰ τὴν ὁδὸν ἣν ὁ λόγος ὑπέθετο, πορευθῆναι· καὶ ὅσα δὴ ὅδε παρῆκε. Δώῃ ὑμῖν γνῶναι καὶ ποιεῖν πάντα. Καὶ ἐπακοῦσαι Σοῦ τε καὶ ἡμῶν ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς θλίψεως· καὶ Σοὶ μέν, τὴν βασιλείαν· ἡμῖν δὲ τὴν ζωὴν Εἰρηναίαν καὶ Εὐσταθῆ χαρίσαιτο· θραύσας ἅπαντας καὶ εἰς τέλος καθελὼν τοὺς ἐχθρούς· καὶ τῆς ἑτέρας δέ, μὴ ἀπαξιῶσαι ζωῆς, τῆς νῦν συνεχῶς κρυπτομένης, καὶ ὕστερον αὐτῷ φανερωθησομένης τῷ Κυρίῳ ἡμῶν. Ὧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HBOHY.GR

Τοῦ αὐτοῦ

Συμβουλὴ πρὸς τοὺς Βασιλεῖς.

Ἃ νομίζω προσήκειν ἐν τῷ παρόντι καὶ ἐκφράσασθαι καὶ εἰπεῖν, ταῦτα γραφῇ παραδούς σοι, ὑποδείκνυμι τῷ Δεσπότῃ μου. Ἔσται δέ μοι ὁ λόγος σαφέστατος ἅμα καὶ συντομώτατος, καὶ τοῖς πᾶσι καταφανῆ δεικνὺς τὰ λαλούμενα. Πρῶτον τοίνυν ἐρωτητέον, τί τὸ κωλύον ἡμῖν τὰς εὐετηρίας ἐστί· καὶ πόθεν οὐδὲν ὠφελούμεθα, σκορπίζοντες εἰς μάτην τὰ κακῶς συναγόμενα· ταῦτα γὰρ μᾶλλον δεῖται βουλῆς, τοῦτο μάλιστα δεῖται καὶ λόγου καὶ σκέψεως. Ἐπεὶ τὸ περὶ χρημάτων μηδὲν ὠφελούντων διηνεκῶς βουλομένους καταναλίσκεσθαι· μωρόν τι τάχα δοκεῖ καὶ ἀνόητον, εἰ μὲν δι' ἀπορίαν χρημάτων ἡττώμεθα, καὶ δι' εὐπορίαν ἑνίκων οἱ βάβαροι· τάχα ἂν εἶχε λόγον τὸ περὶ χρημάτων βουλεύεσθαι· καὶ οὕπω λέγω τέως ὡς οὐδὲ τότε ἐχρῆν ἀνθρώπους χριστιανοὺς τῶν ἀπίστων καὶ ἀθέων ἀπομιμεῖσθαι τὴν ἄνοιαν. Εἰ δὲ μὴ δι' ἀπορίαν δι' εὐπορίαν δὲ μᾶλλον ἄδικον καὶ παράλογον ἡττώμεθα τοῖς ἐχθροῖς, καὶ εἰς αἰῶνας ἡττηθησόμεθα, καὶ οὐδέποτε νικῶντες φανῶμεν οὐδὲ τῶν ἀντιμάχων, ὑπέρτεροι. Τί φιλονεικοῦμεν ἀκαίρως καὶ κατακοπτόμεθα· συνάγοντες ἀδικίαν, καὶ ἐπινοοῦντες ἀφανισμόν, καὶ δολιότητας καταρράπτοντες. Ἵνα τι πάντας ἑαυτοὺς καταβλάψωμεν, ὧν πολλάκις ἐβλάψαμεν· τὰ κακῶς συναγόμενα ταῦτα τοὺς ἐχθροὺς ἐμεγάλυνε· ταῦτα ἡμᾶς κατεσμίκρυνε· ταῦτα πλείους τοὺς πολεμοῦντας ἐπέστησε· ταῦτα τὴν ὀργὴν ἐξέκαυσε τοῦ Θεοῦ. Καὶ πάλιν περὶ τούτων σκεπτόμεθα ἵνα πλέον ἀνάψωμεν· ἡμεῖς δὲ ἑαυτοῖς ἐγγράφως ἐπηρασάμεθα. Εἴποτέ τι πάλιν τοιοῦτον τολμήσαιμεν, τῆς βοηθείας γυμνωθῆναι τῆς τοῦ Θεοῦ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι· καὶ πάλιν ἁγίων ζητοῦμεν κειμήλια ἵνά τι ἐντεῦθεν βοηθηθῶμεν, ὅθεν κακῶς ἀνωλώμεθα. Τί οὖν φησὶ λέγεις· καὶ ἀφῶμεν τοὺς ἐχθροὺς καταγελᾶν τῶν χριστιανῶν, ἀφῶμεν τοὺς λύκους τοῦ Χριστοῦ τὴν ποίμνην κατασπαράττειν ὡς βούλονται· καὶ τίνας ἀπολογίας ἡμεῖς οἱ ποιμένες, τῷ ἡμᾶς ἐπιστήσαντι ποιησόμεθα· λυμαινόμενον ὁρῶντες τὸ ἅγιον ποίμνιον, καὶ οὐδένα λόγον αὐτοῦ ποιούμενον· ἀλλ' ὥσπερ ἀποδεχόμενοι τὰ γινόμενα διακείμενοι. Ἅπας ὁ λόγος προθέσμιος εἰπεῖν τὴν ἀλήθειαν, μέχρι τέλους διαγωνίσεται τοῦ μὴ ψεύσασθαι· χαλεπαίνειν δὲ οὐ δεῖ τοὺς φρονοῦντας, εἰ παρρησιάζεται ἡ ἀλήθεια. Τί οὖν φημί. Λέγω δὲ ὡς εἴπερ ἐζῶμεν ζωὴν χριστιανοῖς πρέπουσαν, οὐ πολλοὺς ἐχθροὺς εἴχομεν· καὶ οὓς εἴχομεν, εὐκόλως ἂν ἡμεροῦμεν, καὶ φίλους ἡμῖν ἐποιούμεθα. Χριστοῦ τῆς πάντα νοῦν ὑπερεχούσης εἰρήνης, τὴν ἀγριότητα καταστέλλοντος, καὶ τὰς βουλὰς αὐτῶν καὶ τὰ σκέμματα διαλύοντος. Εἰ δέ ποτε καὶ στρατεύειν ἠναγκαζόμεθα, στρατάρχης ἐν ἡμῖν αὐτὸς ὁ Χριστὸς καὶ συνταγματάρχης, καὶ ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς ἐταπείνου, ὥστε καὶ λέγειν ἡμᾶς μετὰ τοῦ ψάλλοντος δύνασθαι· «οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.» Οὐκ ἀφήσει τοίνυν φημὶ τοὺς λύκους τὴν ποίμνην καταλυμαίνεσθαι τοῦ Χριστοῦ ἀλλ' ἐπαμύνειν εἰς ὅτον οἷόν τε. Ἐπαμύνειν δὲ οὐ ξίφεσι μᾶλλον, οὐχ ἵπποις, οὐδ' ἅρμασιν, ἀλλὰ Θεὸν ἐπικαλουμένους, καὶ τὴν ἐκεῖθεν ἐξαιτουμένους βοήθειαν· καὶ ἂν οὐκ ἀκούσῃ φησὶν καλούμενος ὁ Θεός, τί κελεύεις ποιεῖν· πολλάκις γὰρ παρακληθεὶς παρ' ἡμῶν οὐκ ἐπήκουσεν. Εὐχὰς τὰς μέν, αὐτοὶ πεποιήκαμεν, τὰς δὲ γενέσθαι διεταξάμεθα. Λιταὶ πολλάκις ἐν κατανύξει, καὶ φωναὶ θρηνώδεις καὶ οἰμωγαί. Ἔστιν οὗ καὶ στήθη τυπτόμενα, καὶ χεῖρες αἰρώμεναι, καὶ ὁ ἐπακούων οὐκ ἦν· οὐκ ἦν ὁ ἐπακούων, ὅτι οὐκ ἦν ὁ λαλῶν· οὐκ ἐλάλουν ἡ πόλις, ὁ Πατριάρχης ἡ σύγκλητος, ἡ τῶν μοναχῶν ἐκείνων καὶ τῶν ἱερέων πληθύς· ἡ τῶν ἐκ διαφόρων τεχνῶν χριστιανικωτάτη ὁμήγυρις. Ναὶ ἐλάλουν, ἀλλ' κὖχοντο καθ' ἡμῶν. Πῶς τοῦτο λέγω. Ἱστορίαν ἀναγνῶσαι σοι βούλομαι παλαιάν. Ἵν' ἔχοις εἰδέναι, τίνων ἀκούειν ὁ Θεός, καὶ πότε καὶ πῶς· καὶ τί ἀπαιτουμένων, εἶτα δεομένων καὶ εἰσακουομένων, ἁμαρτάνων πολλάκις ὁ Ἰσραὴλ ὑπεύθυνος τιμωρίαις μεγάλαις ἐγένετο· περιστατούμενος δὲ καὶ μὴ ἔχων ὅτι καὶ δράσειε, κατέφευγε πρὸς Θεόν, καὶ τῶν ἀδικημάτων μὴ ἀφιστάμενος ἐκδίκησιν ἐζήτει παρὰ τοῦ δικαίου Θεοῦ, καὶ ἀποτυγχάνων ἐδυσφόρει, καὶ ἤχαλε, καθάπερ ὑμεῖς, καὶ διελοιδορεῖτο Θεῷ ἀδίκως τὰ πράγματα κρίνοντι· καὶ τοῖς μὲν μὴ εἰδόσιν αὐτόν, βοηθοῦντι· αὐτῶν δὲ τῶν δούλων αὐτοῦ παρακαλούντων, μὴ εἰσακούοντι. Οὕτω καὶ ὡς φρονοῦντας τοὺς Ἰουδαίους ὁ πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· διδάσκει διὰ τοῦ Προφήτου τί δεῖ φρονεῖν αὐτοὺς καὶ ποιεῖν. Εἴ γε βούλοιντο ἐπακούεσθαι τὰς δεήσεις αὐτῶν, κελεύσας οὖν τὸν Προφήτην, τάδε φησὶ πρὸς αὐτόν. «Ἀνεβόησεν ἐν ἰσχύϊ καὶ μὴ φείσῃ· ὡς σάλπιγγι ὕψωσον τὴν φωνήν σου· καὶ ἀνάγγειλον τῷ λαῷ μου, τὰ ἁμαρτήματα αὐτῶν· καὶ τῷ οἴκῳ Ἰακὼβ τὰς ἀνομίας αὐτῶν· ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι, καὶ γνῶναι τὰς ὁδούς μου ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκὼς· καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς. Αἰτοῦσι με νῦν κρίσιν δικαίαν· καὶ ἐγγίζειν Θεῷ ἐπιθυμοῦσι λέγοντες, τί ὅτι ἐνηστεύσαμεν καὶ οὐκ εἶδες· ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν καὶ οὐκ ἔγνως· καὶ μετ' ὀλίγον. Ἵνα τίμοι νηστεύετε· ὡς σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ἡμῶν· οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην· οὐδ' ἂν κάμψῃς ὡς κλοιὸν τὸν τράχηλόν σου· καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃς. οὐδ' οὕτως καλέσετε νηστείαν δεκτήν· οὐχὶ τοιαύτην νηστείαν ἐγὼ ἐξελεξάμην λέγει Κύριος· ἀλλὰ διάλυε πάντα σύνδεσμον ἀδικίας, λύε στραγγαλιάς, βιαίων

συναλλαγμάτων· ἀπόστελλε τεθρυσμένους ἐν ἀφέσει· καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα· διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκον σου· καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου, οὐχ' ὑπερόψει· τότε ῥαγήσεται πρωΐμον τὸ φῶς σου· καὶ τὰ ἱμάτιά σου ταχὺ ἀνατελεῖ· καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε· τότε βοήσει, καὶ ὁ Θεὸς ἐπακούσεταί σου· ἔτι λαλοῦντα σου ἐρεῖ· «Ἰδοὺ πάρειμι·» οὕτως οὖν τοῦ Προφήτου εἰπόντος, καὶ οὕτω ποιεῖσθαι τὰς εὐχὰς τοῦ Θεοῦ βουλομένου ἐκκλίναντας ἀπὸ ἀδικίας καὶ ποιοῦντος δικαιοσύνην, καὶ τρόπῳ παντὶ βοηθοῦντας τοῖς πενομένοις καὶ πάσης ἀποφοιτῶντας τῆς κατὰ τὸν πλησίον σκαιότητος, καὶ τότε βοᾶν ἐπαγγελλομένου καὶ εἰσακούεσθαι· κενοῦν γε τὰ ἐναντία καὶ δράσαντες καὶ δρῶντες, καὶ οὐδ' ἂν εἴτι καὶ γένοιτο παυσόμενοι ἀδικεῖν, πῶς οὖν αἰτοῦντες καὶ μὴ λαμβάνοντες ἀγανακτοῦμεν καὶ δυσχεραίνομεν· ὡσὰν λαὸς δικαιοσύνην πεποιηκώς, ἠττήμεθα πολλάκις καὶ οὐκ ἠσχύνθημεν ἀλλ' εἰς οὐρανὸν ἔτι τὸ στόμα τιθέμεθα· καὶ ἡ γλῶσσα ἡμῶν, διῆλθεν ἐπὶ τῆς γῆς· ἂν ὑπέρτεροί ποτε γενοίμεθα τῶν ἐχθρῶν, τίς ἡμᾶς βαστάξαι δυνήσεται. Τίς πείσει τὸν τῦρον, τὴν τοσαύτην ὀργῦν, τὴν ἀλαζονείαν καταβαλεῖν· πῶς δὲ οὐκ ἀπολούμεθα σύμψυχοι, τηλικαύτην τρέφοντες ἔπαρσιν, καὶ πρὸς τοὺς ὁμοδούλους ὑπεροψίαν, ἣν οὐδ' αὐτὸς ὁ τούτων γεννήτωρ ἐκτήσατο. γένοιτο σὺν ἡμᾶς τό θέλημα τοῦ Θεοῦ, ὀψέποτε μαθόντας, τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον, τοῦτο φρονεῖν καὶ ποιεῖν, ἡγουμένους οὐδὲν τὰ θελήματα τὰ ἡμέτερα· τὰ γὰρ λέγειν βαρέα τὰ Εὐαγγέλια, καὶ ὅτι ζῆν οὐκέτι ἀκολουθοῦντας αὐτοῖς, καὶ ὅτι δίχα τοῦ πλεονεκτεῖν καὶ ἁρπάζειν καὶ ἀδικεῖν, οὐκ ἀρκεῖ τῷ δημοσίῳ τοῦ δημοσίου τὰ δίκαια, καὶ τὸ ἀντερωτᾶν ὅτι καὶ πῶς ἄλλως μὴ ἀδικοῦντες ζησόμεθα· ταῦτα πάντα καὶ εἴ τι τοιοῦτον εἰς πλεονεξίας προφάσεις προβάλλομεν, ἐθνικῶν ἐστι καὶ ἀπίστων Ἑλλήνων προβλήματα· καὶ οὐ ταῦτα προφασιζόμενοι, ἕτερον Χριστὸν περιμένουσι, τὸν διδάξοντα πῶς ὀφείλομεν πολιτεύεσθαι. Τοῖς γὰρ χριστιανοῖς καὶ ἐλήλυθε καὶ ἐδίδαξε τὰ ῥητέα καὶ τὰ πρακτέα· καὶ οὐκ ἔτι ἐρωτῶσι πῶς ἂν ἄλλως ζησώμεθα. Εἰδότες δὲ ὅτι ἄλλως οὐκ ἔστι ζῆσαι ἢ ἀκολουθοῦντες Χριστῷ τῷ Θεῷ τῷ εἰπόντι «ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.» καὶ «ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον·» καὶ «ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν» ἀκολουθήσωμεν διὰ πολιτείας χριστοειδοῦς τῷ Χριστῷ, καὶ πιστεύσαντες ζητήσωμεν τὴν βασιλείαν αὐτῶν, καὶ τὴν δικαιοσύνην· καὶ ἐπεὶ ἀδύνατον ψεύσασθαι Θεόν, ἕξομεν πάντως καὶ τὸ φῶς τῆς ζωῆς, καὶ τὴν ζωὴν τὴν αἰώνιον· καὶ ταῦτα πάντα ὅσα δηλαδὴ ἀναγκαῖα καὶ χρειώδη τοῖς δούλοις αὐτοῦ, ὑπερεκπερισσοῦ προστεθήσεται ἡμῖν, ἐν Χῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κατὰ τὴν Ε'. Ἰνδ. τοῦ ,ςφψ=1082—ἔτους.

Τίς τῶν εὐλαβῶν Ἱερέων τῆς τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας Θωμᾶς καλούμενος εἶδε τὴν παροῦσαν ὅρασιν ἐκ τρίτου καθ' ὕπνον. Ἐθεάσατο γὰρ τὸν θεοφιλέστατον Μητροπολίτην Χαλκηδόνος ἔσωθεν τοῦ Ναοῦ τῆς πανευφήμου Μάρτυρος Εὐφημίας, Βασιλικὴν στολὴν περιβαλλόμενον, καὶ περὶ τὴν κεφαλὴν αὐτοῦ ἐπιτιθέντα μέγιστον χρυσοῦν φακιόλιον, καὶ οἷα περ εἰκὸς ἐκπλαγεὶς μετ' αἰδοῦς πολλῆς καὶ συστολῆς ἐφθέγξατο πρὸς αὐτόν. Τί τοῦτο Δέσποτά μου ὅπερ θεωρῶ σε διαπραττόμενον· οὐ δέδοικας μή τινες ἐξερχόμενόν σε ἰδόντες, κατείπωσί σου πρὸς τὸν Βασιλέα· ὁ δέ, ἱλαρῷ τῷ προσώπῳ, χαριέντως οὕτως πρὸς αὐτὸν ἀντεφθέγξατο· ὅτι ὥσπερ ὁ πρώταθλος καὶ πρωταγωνιστὴς τιμὴν ἔχει πλείονα τῶν συνδούλων, οὕτως ὁ νήφων εἰς τὸ τοῦ Θεοῦ ἔργον· καὶ πως παρρησιασμένως ἐλέγχων τοὺς ἀνομοῦντας οἷα τις μάχαιρα δίστομος, τοιαύτην παρὰ Θεοῦ στολὴν τιμῆς ἀμφιέννυται. Ταῦτ' οὖν ἀκούσας ὁ εὐλαβὴς Ἱερεύς, οὐδὲν ἕτερον εἰρημένοις τοῖς προστίθησιν ἢ τοῦτο μετὰ θαύματος ἐξειπών. Ὦ Βασίλειον ἱεράτευμα.

ΑΝΑΛΕΚΤΑ

ΕΚ ΤΩΝ ΠΑΤΡΙΑΡΧΙΚΩΝ ΚΩΔΙΚΩΝ

ἐκδιδόντος

ἀρχιμ. Ἰωακεὶμ Φοροπούλου δ. φ.

ἀρχειοφύλακος τοῦ οἰκουμενικοῦ Πατριαρχείου.

Ἡ δικαστικὴ δικαιοδοσία τῶν Ἀρχιερέων.

† Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ γράμματος δῆλον γίνεται ὅτι ἐπειδὴ ἐγένετο ἡμῖν πρόβλημα τόδε,

εἴγε ἔξεστι τοῖς κατὰ τόπους ἀρχιερεῦσι, μητροπολίταις, ἀρχιεπισκόποις καὶ ἐπισκόποις, κρίνειν τοὺς αὐθορμήτως προσερχομένους ἐπαρχιώτας αὐτῶν χριστιανοὺς ὑποτελεῖς τῆς κραταιᾶς καὶ ἀηττήτου βασιλείας καὶ τὰς ὑποθέσεις καὶ τὰς ἀγωγὰς καὶ χριστιανικὰς διαφορὰς καὶ πρὸς ἀλλήλους διενέξεις, καὶ διευθετεῖν νομίμως τε καὶ δικαίως, καὶ τὰς ἀποφάσεις αὐτῶν ἔχειν τὸ κῦρος ἐν παντὶ βασιλικῷ καὶ ἐκκλησιαστικῷ κριτηρίῳ,

διαμαρτυρούμεθα ὅτι

πάντες οἱ συνάδελφοι ἡμῶν ἀρχιερεῖς μητροπολῖται ἀρχιεπίσκοποί τε καὶ ἐπίσκοποι, ἔτι δὲ καὶ οἱ ἐπίτροποι αὐτῶν ἔχουσι τοιαύτην πληρεξούσιον ἄδειαν καὶ δεσποτείαν ἐν ταῖς ἐπαρχίαις αὐτῶν κατὰ τὰ περιεχόμενα κεφαλαιωδῶς σουρούτια ἐν τοῖς κατ' εὐσπλαγχνίαν βασιλικὴν ἀνέκαθεν ἐλεηθεῖσι πρός τε τὴν καθ' ἡμᾶς ἁγίαν τοῦ Χριστοῦ ἀνατολικὴν ἐκκλησίαν καὶ πρὸς πάντας τοὺς παρ' αὐτῆς ἀποκαθισταμένους ἐν ἑκάστῃ ἐπαρχίᾳ γνησίους καὶ νομίμους ἀρχιερεῖς ὑψηλοῖς βασιλικοῖς προσκυνητοῖς Βερατίοις κρίνειν ἐλευθέρως τοὺς οἰκειοθελῶς προσερχομένους ἐπαρχιώτας αὐτῶν χριστιανοὺς διαφοράν ἔχοντας πρὸς ἀλλήλους καὶ ἐξετάζειν ἐσκεμμένως τὰς ἀγωγὰς αὐτῶν καὶ ἀνερωτᾶν ἀκριβῶς πάντας τὰς συμβαινούσας αὐτοῖς διενέξεις καὶ τὰς χρηματικὰς δοσοληψίας καὶ τὰ περὶ κληρονομίας καὶ τὰ τῶν προικῶν καὶ προικοσυμφώνων καὶ περὶ πᾶσαν ἄλλην ἀναφυομένην διαφορὰν αὐτῶν καὶ διευθετεῖν νομίμως κατὰ τοὺς ἱεροὺς κανόνας καὶ ἀρχαίους ὅρους καὶ θεσμοὺς τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ ἀνατολικῆς ἐκκλησίας καὶ ἀποκαθιστᾶν τὸ δίκαιον κατὰ χῶρον· καὶ τὰς ἀγράφους καὶ ἐγγράφους αὐτῶν ἀποράσεις καὶ ἐπικυρώσεις ἔχειν ἀείποτε τὸ ἀξιόπιστον καὶ εὐπαρρησίαστον ἐν τοῖς βασιλικοῖς καὶ ἐκκλησιαστικοῖς κριτηρίοις καὶ τὸ κῦρος καὶ τὴν ἀσφάλειαν· καὶ ἐπειδὴ οὕτως ἔχει ἡ ἀλήθεια καὶ εἰσὶ λαμπραὶ καὶ καταφανεῖς αἱ ἀποδείξεις ἐξ αὐτῶν τῶν πραγμάτων πρὸς τὰς καθ' ἑκάστην συμβαινούσας διαφορὰς καὶ διενέξεις τῶν πρὸς ἀλλήλους διαφερομένων εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν πιστῶν ραγιάδων τοῦ κραταιοτάτου δικαιοτάτου καὶ εὐσπλαγχνικωτάτου πολυχρονίου ἡμῶν Ἄνακτος (οὗ τὸ κράτος εἴη ἀήττητον καὶ θριαμβεῦον εἰς τοὺς αἰῶνας) κρινομένας καὶ ἀνακρινομένας ἐκκλησιαστικῶς, καὶ τὰς περὶ αὐτὰς εὐλόγους καὶ νομίμους ἀποφάσεις ὡς ἐχούσας τὸ εὐπαρρησίαστον καὶ τὸ ἀξιόπιστον, ἀποδέχεται εὐμενῶς τὸ ἀνώτατον βασιλικόν, ὑπέρλαμπρον κριτήριον τῆς δικαιοσύνης καὶ ἐπικυροῖ εἰς μονιμωτέραν τὴν ἀσφάλειαν, ὃν τρόπον καὶ ἡ Ἐκκλησία· ὅθεν καὶ εἰς ἔνδειξιν ἀπελύθη τὸ παρὸν ἡμέτερον πατριαρχικὸν γράμμα.

,αψγ'.

Ἐν μηνὶ ἀπριλλίῳ Ἰνδικτιῶνος α'.

ΣΗΜ. Ἐκ τοῦ ὑπ' ἀριθ. 10 πατριαρχικοῦ Κώδικος σελ. 28. Γρηγόριος δὲ ὁ Ε', ὁ ἀπὸ Σμύρνης, ἐστὶν ὁ ἀποφαινόμενος.

Ἀπάντησις πρὸς τοὺς κυρίους Ζὰχ Κλαβάρη καὶ Τρ. Πλὰχ περὶ τῆς γενομένης πρὸς τὴν ἐκκλησίαν παρ' αὐτῶν ἐρωτήσεως, **ἐὰν ἀρχιερεὺς δύναται νὰ ἐπεμβῇ εἰς αἱρετοκρισίαν ἐμπορικὴν ἐναγομένου ἰουδίτου καὶ ἐνάγοντος ραγιᾶ.**

Ἐντιμότατοι Κύριοι,

Ἀναγνόντες τὸ κατὰ τὴν ιζ'. τοῦ ὀκτωβρίου ἡμερολογούμενον καὶ πρὸς ἡμᾶς ἀποτεινόμενον ἔγγραφόν σας, δι' οὗ ἐρωτᾶτε, ἐὰν ἀρχιερεὺς ὁποιοσδήποτε ἔχῃ τὸ ἐλεύθερον, χωρὶς νὰ ἐμποδίζηται ἐκκλησιαστικῶς ἢ πολιτικῶς, τοῦ νὰ ἐπεμβαίνῃ καὶ νὰ θεωρῇ ἐμπορικὴν κρισολογίαν ὑπὸ αἱρετοκρισίαν μεταξὺ ραγιᾶ ἐνάγοντος καὶ ὑπηκόου εὐρωπαίου ἐναγομένου κτλ. ἀπαντῶμεν εἰς τὴν ἐρώτησίν σας δηλοποιοῦντες ὑμῖν ὅτι ἕκαστος τῶν ἀρχιερέων, ὡς χαρακτῆρα φέρων κριτοῦ, ἔχει τὸ δικαίωμα καὶ ἐκκλησιαστικῶς καὶ πολιτικῶς νὰ δικάζῃ ἐξ ἐπαγγέλματος κάθε εἴδους διαφοράν, ἀναφερομένην εἰς τὸ κριτήριόν του παρ' οἱουδήποτε καὶ νὰ ἀποφασίζῃ κατὰ τὸ δίκαιον καὶ κατὰ τοὺς καθεστῶτας ἐκκλησιαστικοὺς νόμους· οὐδεὶς ὅμως τῶν ἀρχιερέων ἔχει τὸ ἐλεύθερον νὰ ἐπεμβαίνῃ καὶ νὰ θεωρῇ ἐμπορικὴν κρισολογίαν ὑπὸ αἱρετοκρισίαν, ἀλλ' οὔτε προσκλούμενος εὐχαρίστως ὑπό τινων πρὸς ἀλλήλους διαφερομένων περὶ ἐμπορικῶν δοσοληψιῶν δύναται νὰ ἀναλάβῃ θέσιν αἱρετοκριτοῦ. Τὴν ἀπάντησιν ταύτην διευθύνοντες πρὸς τὴν Ἐντιμότητάς σας, λαμβάνομεν ἀφορμὴν νὰ σᾶς διαβεβαιώσωμεν περὶ τῆς ἐξόχου ἡμῶν πρὸς τὴν Ἐντιμότητάς σας ὑπολήψεως, ὧν καὶ τὰ ἔτη εἶεν θεόθεν ὅτι πλεῖστα καὶ σωτηριώδη. ,αωλη. Δεκεμ. ιθ', ἐκ τῶν Πατριαρχείων.

† **Ὁ Πατριάρχης Κωνσταντινουπόλεως ΓΡΗΓΟΡΙΟΣ**

Πρὸς τοὺς Ἐντιμοτάτους κυρίους
Ζὰχ Κλαβάρη καὶ Τρ. Πλάκ.

ΣΗΜ. Ἐκ τοῦ ὑπ' ἀριθ. 19 πατριαρχ. κώδικος σελ. 49. Ὁ ἀποφαινόμενος πατριάρχης ἐστὶν ὁ ἀπὸ Σερρῶν Γρηγόριος ὁ ΣΤ'.

Ἱερομόναχος = ἄγαμος ἱερεύς, οὐχὶ δὲ μοναστηριακὸς ἱερεύς.

Γράμμα πιστοποιητικόν.

Ἡ Μετριότης ἡμῶν διὰ τοῦ παρόντος Αὐτῆς πιστοποιητικοῦ γράμματος δηλοποιεῖ τῇ γνώμῃ καὶ τῆς περὶ αὐτὴν Ἱερᾶς Συνόδου, ὅτι ὁ ἐν Βενετίᾳ πρὸ πολλῶν ἐτῶν διατρίβων καὶ ἐφημερεύων ἐν τῇ ἐκεῖσε ἱερᾷ Ἐκκλησίᾳ τῶν ὀρθοδόξων χριστιανῶν, τιμωμένῃ ἐπ' ὀνόματι τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ὁσιώτατος ἀρχιμανδρίτης ἐν ἱερομονάχοις κύριος Σπυρίδων Ζερβὸς Κερκυραῖος οὐχ ὑπάρχει Μοναχός, ὡς μὴ ἀνήκων οὐδὲ ἔχων τὴν μετάνοιαν αὐτοῦ εἰς Μο-

ναστήριον, ἀλλ' ἡ αὐτοῦ ὁσιότης ὑπάρχει ἱερεὺς ἄγαμος, διὸ καὶ ἱερομόναχον εἴθισται καλεῖσθαι πάντα ἱερέα ἄγαμον. Ὡς τοιοῦτος δὲ προαχθεὶς καὶ εἰς ἀρχιμανδρίτην τοῦ ἁγιωτάτου Πατριαρχικοῦ Οἰκουμενικοῦ Θρόνου, ὑπάρχει καὶ λέγεται καὶ παρὰ πάντων γινώσκεται ὀφφικιάλος ἱερεὺς τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ οὐ Μοναχός, ὡς διείληπται. Ὅθεν εἰς ἔνδειξιν τῆς περὶ τούτου ἀληθείας καὶ ἐπὶ τῇ βάσει τῶν περὶ τῶν ἱερατικῶν βαθμῶν κανονικῶν διατάξεων τῆς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας ἀπελύθη κατ' αἴτησιν τοῦ νομοδιδάκτορος κυρίου Πέτρου Περέτα τὸ παρὸν ἡμέτερον Πατριαρχικὸν ἐνυπόγραφον καὶ ἐνσφράγιστον πιστοποιητικὸν γράμμα. ,αωξα' Μαρτίου λα'.

(Τ. Σ.) † **ὁ Πατριάρχης Κωνσταντινουπόλεως Ἰωακεὶμ ἀποφαίνεται.**

ΣΗΜ. Ἐκ τοῦ ὑπ'ἀριθ. ΛΓ' πατριαρχ. κώδικος σελ. 344. Ὁ δὲ πατριάρχης Ἰωακείμ ἐστιν ὁ Β', ὁ ἀπὸ Κυζίκου.

Ὁμογενεῖς ἐν τῇ ἀλλοδαπῇ ἐνεργέται τῆς Ἐκκλησίας.

Γρηγόριος [ὁ Ε'.] ἐλέῳ Θεοῦ κτλ.

Εὐγενέστατε καὶ ἐνδοξότατε κύριε Ἰωάννη Βαρβάκη, ἡμέτερε κατὰ πνεῦμα κτλ.

Ἐλάβομεν πρὸ ἡμερῶν τινων τὰ σταλέντα ἡμῖν υἱικὰ γράμματά σας καὶ εἴδομεν τῶν εὐαρέστων ἀποφάσεών σας καὶ ἀγαθοεργῶν τὴν ἐκτέλεσιν· αἰσίως δὲ καταπλεύσαντα ἔφθασαν καὶ τὰ δύο κάρικα φέροντα τὸν σῖτον τὸν πρὸς ἀπόδοσιν τῆς θεοφιλοῦς προσφορᾶς πρισδιορισθέντα· ἀλλὰ τοῦ μὲν πρώτου καραβίου τὸ κάρικον ἀνεφάνη ἐλλιπές, καὶ οὐχί, ὡς ἔγραφεν ἡ περιπόθητος ἡμῖν εὐγενία σας· τοῦ δευτέρου δὲ οὔπω καὶ ἔτι πρὸς ἀμέτρως ἡμεῖς διωρισάμεθα ἐπιστάτην ἔμπειρον, τίμιον καὶ γνωστόν, καὶ ἐνεργήθη ἀμφοτέρων ἡ πώλησις· ἀλλ' ἐπειδὴ αἱ διατιμήσεις τοῦ σίτου κατ' αὐτὸν τὸν καιρὸν εἶνε ξεπεσμέναι καὶ δὲν ἀνεπληρώθη ἡ προσδιορισθεῖσα ὅλη ποσότης, καθὼς ἐκ τοῦ περικλειομένου ἐπίτηδες κορέντε πληροφορεῖται τὴν ἐκκαθάρισιν, συνεποσώθη δὲ ὑλικῶς ἡ προσδιορισθεῖσα ποσότης μετὰ τὴν ἀφαίρεσιν τῶν κατεστρωμένων ἐξόδων εἰς ἑξήκοντα ἓξ χιλιάδας γροσίων, ὧν αἱ μὲν πεντήκοντα χιλιάδες ἐδόθησαν ἐπὶ τῷ προσδιορισθέντι τόκῳ εἰς τὸ κοινὸν τοῦ Παναγίου Τάφου, καὶ ἡ ὁμολογία πρὸς τοὺς τιμιωτάτους ἐπιτρόπους τοῦ κοινοῦ, αἱ δὲ πέντε χιλιάδες τοῖς ἐνταῦθα τυπογράφοις, χίλια ἔτι γρόσια τῷ ἐν ἰατροῖς κυρίῳ Γοβδελᾷ κατὰ τὴν διαταγήν της, αἱ δὲ δέκα χιλιάδες εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, περιμένουσαι καὶ τὰς ἄλλας δέκα πρὸς ἀναπλήρωσιν τῶν εἴκοσι χιλιάδων τῶν ὑπὸ τῆς γενναιότητός της προσδιορισθεισῶν χάριν ἀντιλήψεως τῶν κοινῶν τοῦ γένους νοσοκομείων· καὶ τῶν μὲν σταλέντων ἡ πώλησις καὶ ἡ διανομὴ οὕτως ἐγένετο· τῇ δὲ πολυποθήτῳ ἡμῖν Εὐγενείᾳ της ἀπεδόθησαν μετὰ κρότου καὶ ἐπαίνων πολλῶν αἱ γενικαί τε καὶ μερικαὶ εὐχαριστίαι καὶ ἐγκάρδιοι πατρικαὶ εὐχαί τε καὶ εὐλογίαι ἡμῶν καὶ πάσης τῆς περὶ ἡμᾶς ἱερᾶς ἀδελφότητος ὡς ἀρραβῶνα τῶν θεόθεν ἀποκειμένων τῇ φιλοκάλῳ καὶ φιλαρέτῳ χριστιανικῇ προαιρέσει της αἰωνίων μισθῶν, οὓς ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ τηροῦσι· μὲ τοιαύτας ἐνδείξεις εὐεργεσιῶν καὶ εὐσεβεῖς χορηγίας εἰς τὰ κοινὰ καὶ μερικὰ τοῦ ὀρθοδόξου ἡμῶν γένους κοινωφελῆ σπουδάσματα· καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον πρὸς πληροφορίαν της, ἡ δὲ τοῦ Θεοῦ χάρις κτλ.

,αωιθ'. αὐγούστου ΙΒ'.

† **Ὁ Κωνσταντινουπόλ. ἐν Χριστῷ εὐχέτης διάπυρος.**

ΣΗΜ. ἐκ τοῦ ὑπ' ἀριθ. ΙΓ'. πατριαρχ. κώδικος σελ. 161.

---

† Γρηγόριος [ὁ Ε'] ἐλέῳ Θεοῦ κτλ.

Ὁσιολογιώτατε ἐν Ἱερομονάχοις κύριε Χρύσανθε, ὁ ἐν Βρετανίᾳ πρὸ χρόνων διάγων καὶ τὸν διδασκαλικὸν βίον ἀξιοπρεπῶς μετιών, ἡμέτερε ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητὲ καὶ περιπόθητε, χάρις εἴη σοῦ τῇ ὁσιολογιότητι καὶ εἰρήνη παρὰ Θεοῦ, παρ' ἡμῖν δὲ εὐχή, εὐλογία καὶ συγχώρησις. Ἐλλόγιμον γράμμα σου κατὰ μῆνα Ἰανουάριον τοῦ παρελθόντος ,αωιη' σωτηρίου ἔτους γεγραμμένον ἐπεδόθη κατ' αὐτὰς ἀσφαλῶς τῇ ἡμῶν μετριότητι, καὶ τοῦτο μετ' ἐπιστασίας ἐπεξελθόντες ἔγνωμεν τῶν φρονημάτων σου τὴν εὐσέβειαν καὶ τὸ θερμὸν καὶ διακαὲς τοῦ ζήλου σου περὶ τὰ τῆς ἀμωμήτου ἡμῶν πίστεως, ἐν ᾗ καὶ ἐγεννήθης καὶ ἀνετράφης καὶ ἤκμασας πράξεσιν ἐνθέοις καὶ ἀρεταῖς ἑαυτὸν κατακοσμήσας· πάντα δὲ ταῦτα ἐπισφραγῖσαι προθέμενος ἔργῳ σωτηριωδεστάτῳ κατὰ ψυχὴν καὶ Θεῷ εὐαρέστῳ, τὴν σωζομένην χρηματικήν σου κατάστασιν ἀνατεθειμένην σὺν τόκῳ τό γε νῦν ἐν τῷ βασιλικῷ ἀγγλικῷ ταμείῳ καὶ ὑφισταμένην εἰς ἐννεακοσίους πόντους πρὸς τρία φλωρία καὶ ἔτι πρὸς ἕκαστον, ταύτην ἅπασαν κατ' ἰσομοιρίαν ἀφιεροῖς εὐλαβῶς τοῖς τέσσαρσιν ἁγιωτάτοις Πατριαρχικοῖς ἀποστολικοῖς Θρόνοις, τῷ τε ἡμετέρῳ Οἰκουμενικῷ, τῷ τῶν Ἱεροσολύμων, τῷ τῆς Ἀλεξανδρείας καὶ τῷ τῆς Ἀντιοχείας, ἐφ' οἷς ὡς ἐπὶ βάσεως τετραγώνου ἡ καθ' ἡμᾶς ὀρθόδοξος ἀποστολικὴ ἵδρυται Ἐκκλησία, ἧς μέλος καὶ ἡ σὴ ἱερολογιότης ἐκ προγόνων διατελεῖς γνήσιον· οὐ γράμματι δὲ μόνῳ πρὸς αὐτοὺς ἀποτεινομένῳ, ἀλλὰ καὶ διαθήκῃ γνησίᾳ τε καὶ νομίμῳ κατασφαλίσαι καὶ βεβαιῶσαι προήχθης μάλα καλῶς τὴν θεοφιλῆ σου ἀφιέρωσιν, προσδιορισάμενος τὴν ἐνέργειαν τῶν διαταχθέντων

μετὰ τὴν ἀποβίωσίν σου καὶ πρὸς Κύριον ἐκδημίαν σου. Τὰς ἐνδείξεις τῆς εὐσεβοφροσύνης σου ταύτης καὶ τοῦ πρὸς τὴν κοινὴν μητέρα τῶν εὐσεβῶν εὐγνώμονος ζήλου σου ἐπαίνοις καὶ εὐφημίαις κατεστέψαμεν ταῖς δεούσαις καὶ τῇ ἱερολογιότητί σου ὡς δίκαιον ἔπαθλον ἐπεβραβεύσαμεν τὰς ἐκ βάθους ψυχῆς καὶ καρδίας πατρικὰς ἡμῶν εὐλογίας καὶ εὐχάς, ἐξαιτούμενοί σοι θεόθεν πᾶν ἀγαθὸν καὶ σωτήριον, μῆκος ζωῆς καὶ ὑγείαν ψυχῆς τε καὶ σώματος· καὶ ἀποκρινόμενοι διὰ τῆς παρούσης πατριαρχικῆς ἡμῶν ἐπιστολῆς, ἐντελῆ σοι πληροφορίαν παρέχομεν καὶ ἐκ μέρους καὶ τῶν λοιπῶν ἁγιωτάτων δύο Πατριαρχικῶν Θρόνων, τῶν παρ' ἡμῶν τοποτηρητικῶς ἐφορευομένων, διὰ τὸ μὴ παρεῖναι εἰς Βασιλεύουσαν τοὺς ἰθύνοντας αὐτοὺς κανονικῶς μακαριωτάτους συναδελφούς, ὅτι ἀπεδεξάμεθα ἐν εὐχαρίστῳ διαθέσει ψυχῆς τὴν ἀξιέπαινον περὶ τῆς θεοφιλοῦς ταύτης ἀφιερώσεως αἴτησίν σου, καθ' ἣν καὶ κατεγράφησαν τὰ δηλωθέντα τρία ὀνόματα, τό τε σὸν καὶ τὰ λοιπὰ δύω, Κωνσταντίνου καὶ Βαρσάμω, ἵνα μνημονεύωνται ἐν ταῖς ἱεραῖς προθέσεσι κατὰ πᾶν Σάββατον, ἑπομένης τῆς ἐνάρξεως μετὰ τὴν ἔγκαιρον ἀνάγνωσιν τῶν ἱερῶν ἀφεσίμων εὐχῶν, κατὰ τὴν ἔννοιαν τοῦ γράμματός σου, ἐπί τε διαλύσει τοῦ γηΐνου σκήνους εἰς τὰ ἐξ ὧν συνετέθη, καὶ κατατάξει τῆς θεοσεβοῦς σου ψυχῆς ἐν χώρᾳ ζώντων καὶ σκηναῖς δικαίων, καὶ ὅπου καθαρὸς ἦχος τῶν μακαρίως ἑορταζόντων ἐν Χριστῷ Ἰησοῦ, τῷ τὴν οὐράνιον αὐτοῦ βασιλείαν ἐπαγγελλομένῳ πᾶσι τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ τηροῦσι. Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον μετ' εὐχαρίστου διαθέσεως πατρικῆς πρὸς ἡσυχίαν σου καὶ πληροφορίαν σου, ἡ δὲ τοῦ Θεοῦ χάρις κτλ.

...αωιθ'.

(Τ. Σ.) † **ὁ Κωνσταντινουπόλεως Γρηγόριος** εὐχέτης διάπυρος καὶ ἐπίτροπος τοῦ μακαριωτάτου συναδελφοῦ Πατριάρχου Ἀλεξανδρείας.

(Τ. Σ.) † **ὁ Ἱεροσολύμων Πολύκαρπος** εὐχέτης διάπυρος καὶ ἐπίτροπος τοῦ μακαριωτάτου συναδελφοῦ Πατριάρχου Ἀντιοχείας.

ΣΗΜ. Ἐκ τοῦ ὑπ' ἀριθ. ΙΓ' πατριαρχικοῦ κώδικος σελ. 124.

Δήλωσις

Ἐπειδὴ ἱκανοὶ ἀπό τινος χρόνου ἐκ τοῦ ἐξωτερικοῦ καὶ ἰδίᾳ ἐκ τῆς Μ. Ἀσίας ζητοῦσι παρ' ἐμοῦ διὰ γραμμάτων τὸ «περὶ Ἐκκλησίας» εἰς δύο τόμους ἐκδεδομένον σύγγραμμά μου, διὰ τοῦτο ἀναγκαῖον ἐνόμισα νὰ δηλώσω ὅτι τὸ βιβλίον πωλεῖται εἰς τὰ βιβλιοπωλεῖα Δεπάστα—Σφύρα—Γεράρδου, οἵτινες ἀπὸ πολλοῦ ἐπρομηθεύθησαν παρ' ἐμοῦ ἱκανὰ σώματα τοῦ συγγράμματός μου.

† **Ὁ Μέγας Πρωτοσύγκελλος ΧΡΥΣΟΣΤΟΜΟΣ.**

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΠΕΛΑΓΩΝΕΙΑΣ
ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΔΙΚΑΣΤΗΡΙΟΝ

Καλεῖται ὁ Μπότης Πέτκου ὑπήκοος ὀθωμανὸς τέως μὲν κάτοικος τοῦ χωρίου Κανίνου τοῦ νομοῦ Μοναστηρίου καὶ τῆς ἐπαρχίας Πελαγωνείας, νῦν δ' ἀγνώστου διαμονῆς καὶ ἐπαγγέλματος ὅπως τὴν πρώτην δικάσιμον Δευτέραν καὶ ὥραν 2 τῆς ἡμέτας τουρκιστὶ μετὰ τὴν παρέλευσιν τριάκοντα καὶ μιᾶς ἡμερῶν ἀπὸ τῆς πρώτης διὰ τῆς ἐφημερίδος δημοσιεύσεως τῆς παρούσης κλήσεως ἐμφανισθῇ εἴτε αὐτοπροσώπως, εἴτε διὰ νομίμως διοριζομένου πληρεξουσίου πρὸ τοῦ ἐν τῇ Μητροπόλει Πελαγωνείας Ἐκκλησιαστικοῦ Δικαστηρίου ὡς ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς Μένκας Μπότη θυγατρὸς Δημητρίου ὑπηκόου ὀθωμανῆς τὰ οἰκιακὰ ἐπαγγελλομένης καὶ κατοίκου τοῦ χωρίου Βελουσίνης τῆς αὐτῆς ἐπαρχίας, ἐναγόμενος ἐπὶ διετεῖ ἐγκαταλείψει. Προσεπιδηλοῦται δ' αὐτῷ, ὅτι, ἐὰν μὴ ἐμφανισθῇ κατὰ τὴν ὡς ἄνω ὁριζομένην δικάσιμον, ἡ κατ' αὐτοῦ ἀγωγὴ περὶ διαζυγίου θεωρηθήσεται ἐρήμην αὐτοῦ. Ἡ παροῦσα κλῆσις τρὶς δημοσιευθήσεται κατὰ συνέχειαν διὰ τοῦ ἐν Κων)πόλει ἐκδιδομένου φύλλου «Ἐκκλησιαστικῆς Ἀληθείας».

Ἐν Μοναστηρίῳ, τῇ 15 Ἰουλίου 1900. 3

Ὁ Πρόεδρος
† **Ὁ Πελαγωνείας ΑΜΒΡΟΣΙΟΣ**

Ὁ Γραμματεὺς
καὶ ἀ. ἀ.
Α. Νέτδος

ΠΝΕΥΜΑΤΙΚΟΝ ΔΙΚΑΣΤΗΡΙΟΝ
ΤΗΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΕΡΣΕΚΙΟΥ

Τὸ Πνευματικὸν Δικαστήριον τῆς Ἱ Μητροπόλεως Ἐρσεκίου ἐπιλαβόμενον ἐν τῇ τακτικῇ αὐτοῦ συνεδριάσει τῆς 19 Ἰουνίου τῆς ἐξετάσεως τῆς ὑποβληθείσης αὐτῷ συζυγικῆς διαφορᾶς μεταξὺ τῆς Δρίνκας Δανίλοβιτς, τὸ γένος Δραγίτσεβιτς, καὶ τοῦ Δούσαν Δανίλοβιτς, ἀμφοτέρων κατοίκων τοῦ χωρίου Τσαπλίνης τῆς ἐνορίας Γαβέλλης, καλεῖ τὸν Δούσαν Δανίλοβιτς, διαμένοντα νῦν, ἄγνωστον ποῦ ἐν τῷ ὀθωμανικῷ κράτει, ἵνα ἐμφανισθῇ εἴτε αὐτοπροσωπως εἴτε δι' ἀντιπροσώπου αὐτοῦ πρὸ τοῦ πνευματικοῦ τουτου δικαστηρίου μέχρι τοῦ τέλους Ὀκτωβρίου 1900, ὡς ἐναγόμενος ὑπὸ τῆς συζύγου αὐτοῦ ἐπὶ διαζεύξει. Προσεπιδηλοῦται δ' αὐτῷ ὅτι, ἐὰν μὴ ἐμφανισθῇ κατὰ τὸν ὡς ἄνω ὁριζόμενον χρόνον, ἡ κατ' αὐτοῦ ἀγωγὴ θεωρηθήσεται ἐρήμην αὐτοῦ, διοριζομένου ὑπὸ τοῦ Πνευματικοῦ Δικαστηρίου ἐξ ὀφφικίου ἀντιπροσώπου αὐτοῦ. Ἡ παροῦσα κλῆσις δημοσιευθήσεται τρὶς κατὰ συνέχειαν διὰ τῆς ἐν Κωνσταντινουπόλει ἐκδιδομένης ἐφημερίδος «Ἐκκλησιαστικῆς Ἀληθείας», ὡς καὶ διὰ τῶν ἐν Σαραϊέβῳ ἐκδιδομένων ἐφημερίδων «Βτότσνικ» καὶ «Σαραϊέβσκι Λίστ».

Μοστάρ, 19 Ἰουνίου 1900. 3

ΠΝΕΥΜΑΤΙΚΟΝ ΔΙΚΑΣΤΗΡΙΩΝ
ΤΗΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΠΡΕΣΠΩΝ ΚΑΙ ΑΧΡΙΔΩΝ

Καλεῖται ὁ ἐκ Κρουσόβου ὁρμώμενος νῦν δὲ ἀγνώστου διαμονῆς Τάσκος Στήλας Καζαντζῆς ὑπήκοος ὀθωμανὸς ὅπως τὴν πρώτην δικάσιμον Τρίτην καὶ ὥραν 8 τουρκιστὶ τῆς ἡμέρας μετὰ τὴν παρέλευσιν τριάκοντα καὶ μιᾶς ἡμῶν ἀπὸ τῆς πρώτης διὰ τῶν ἐφημερίδων δημοσιεύσεως τῆς παρούσης κλήσεως ἐμφανισθῇ, εἴτε αὐτοπροσώπως, εἴτε δι' ἀντιπροσώπου νομίμως διωρισμένου, πρὸ τοῦ ἐν Κρουσόβῳ πνευματικοῦ δικαστηρίου, ὡς ὑπὸ τῆς ἑαυτοῦ συζύγου Ἀμαλίας Τ. Στήλη ὑπηκόου ὀθωμανῆς καὶ κατοίκου ὡσαύτως Κρουσόβου ἐναγόμενος ἐπὶ διαζεύξει. Προσεπιδηλοῦται δ' αὐτῷ ὅτι, ἐὰν μὴ ἐμφανισθῇ κατὰ τὴν ὡς ἄνω ὁριζομένην δικάσιμον ἡ κατ' αὐτοῦ περὶ διαζυγίου ἀγωγὴ θεωρηθήσεται ἐρήμην αὐτοῦ. Ἡ παροῦσα κλῆσις τρὶς δημοσιευθήσεται κατὰ συνέχειαν διὰ τῶν ἐν Κων)πόλει ἐκδιδομένων ἐφημερίδων «Ἐκκλησιαστικῆς Ἀληθείας» καὶ «Κωνσταντινουπόλεως». 1

Ὁ Πρόεδρος
† **Ὁ Πρεσπῶν καὶ Ἀχριδῶν ΑΝΘΙΜΟΣ**

Ὁ ὑπεύθυνος Ι. Δ. ΤΑΝΤΑΛΙΔΗΣ

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ.

НБ ОНУ
878876
07/04/23
Наукова бібліотека
ОДЕСЬКОГО НАЦІОНАЛЬНОГО
УНІВЕРСИТЕТУ
імені І. І. МЕЧНИКОВА
1948
П.ІІ-726270